εἰς τὴν σκηνὴν τοῦ μαρτυρίου, ὅτι ἐπεσκίαζεν ἐπ᾽ αὐτὴν ἡ νεφέ-
36 λη καὶ δόξης κυρίου ἐπλήσθη ἡ σκηνή. [36]ἡνίκα δ᾽ ἂν ἀνέβη ἡ
νεφέλη ἀπὸ τῆς σκηνῆς, ἀνεζεύγνυσαν οἱ υἱοὶ Ισραηλ σὺν τῇ
37 ἀπαρτίᾳ αὐτῶν· [37]εἰ δὲ μὴ ἀνέβη ἡ νεφέλη, οὐκ ἀνεζεύγνυσαν
38 ἕως τῆς ἡμέρας, ἧς ἀνέβη ἡ νεφέλη· [38]νεφέλη γὰρ ἦν ἐπὶ τῆς
σκηνῆς ἡμέρας καὶ πῦρ ἦν ἐπ᾽ αὐτῆς νυκτὸς ἐναντίον παντὸς
Ισραηλ ἐν πάσαις ταῖς ἀναζυγαῖς αὐτῶν.

36 η νεφ./απο τ. σκηνης] tr. B† || 37 της > B† | ης > B*† || 38 αυτης] -την A*(uid.)

Subscr. εξοδος B, εξοδος των υιων ισραηλ εξ αιγυπτου A†

# ΛΕΥΙΤΙΚΟΝ

1 [1]Καὶ ἀνεκάλεσεν Μωυσῆν καὶ ἐλάλησεν κύριος αὐτῷ ἐκ τῆς
2 σκηνῆς τοῦ μαρτυρίου λέγων [2]Λάλησον τοῖς υἱοῖς Ισραηλ καὶ
ἐρεῖς πρὸς αὐτούς Ἄνθρωπος ἐξ ὑμῶν ἐὰν προσαγάγῃ δῶρα τῷ
κυρίῳ, ἀπὸ τῶν κτηνῶν, ἀπὸ τῶν βοῶν καὶ ἀπὸ τῶν προβάτων,
3 προσοίσετε τὰ δῶρα ὑμῶν. [3]ἐὰν ὁλοκαύτωμα τὸ δῶρον αὐτοῦ ἐκ
τῶν βοῶν, ἄρσεν ἄμωμον προσάξει· πρὸς τὴν θύραν τῆς σκηνῆς
4 τοῦ μαρτυρίου προσοίσει αὐτὸ δεκτὸν ἐναντίον κυρίου. [4]καὶ ἐπι-
θήσει τὴν χεῖρα ἐπὶ τὴν κεφαλὴν τοῦ καρπώματος, δεκτὸν αὐτῷ
5 ἐξιλάσασθαι περὶ αὐτοῦ. [5]καὶ σφάξουσι τὸν μόσχον ἔναντι κυρίου,
καὶ προσοίσουσιν οἱ υἱοὶ Ααρων οἱ ἱερεῖς τὸ αἷμα καὶ προσχεοῦ-
σιν τὸ αἷμα ἐπὶ τὸ θυσιαστήριον κύκλῳ τὸ ἐπὶ τῶν θυρῶν τῆς
6 σκηνῆς τοῦ μαρτυρίου. [6]καὶ ἐκδείραντες τὸ ὁλοκαύτωμα μελιοῦσιν
7 αὐτὸ κατὰ μέλη, [7]καὶ ἐπιθήσουσιν οἱ υἱοὶ Ααρων οἱ ἱερεῖς πῦρ
8 ἐπὶ τὸ θυσιαστήριον καὶ ἐπιστοιβάσουσιν ξύλα ἐπὶ τὸ πῦρ, [8]καὶ
ἐπιστοιβάσουσιν οἱ υἱοὶ Ααρων οἱ ἱερεῖς τὰ διχοτομήματα καὶ τὴν
κεφαλὴν καὶ τὸ στέαρ ἐπὶ τὰ ξύλα τὰ ἐπὶ τοῦ πυρὸς τὰ ὄντα
9 ἐπὶ τοῦ θυσιαστηρίου, [9]τὰ δὲ ἐγκοίλια καὶ τοὺς πόδας πλυνοῦσιν
ὕδατι, καὶ ἐπιθήσουσιν οἱ ἱερεῖς τὰ πάντα ἐπὶ τὸ θυσιαστήριον·
κάρπωμά ἐστιν, θυσία, ὀσμὴ εὐωδίας τῷ κυρίῳ.
10 [10]Ἐὰν δὲ ἀπὸ τῶν προβάτων τὸ δῶρον αὐτοῦ τῷ κυρίῳ, ἀπό
τε τῶν ἀρνῶν καὶ τῶν ἐρίφων, εἰς ὁλοκαύτωμα, ἄρσεν ἄμωμον

Leu.: BA.

1 2 προσαγαγη] προσφερη A | απο 2⁰] pr. και B* || 3 δεκτον] + αυτω B (in *O* sub ※) | εναντι A || 5 οι υιοι ααρ./οι ιερ.] tr. B*† || 6 εκδειρ.] εκ > AB^c || 7 επιστοιβ.] επι > AB^c || 8 επιστοιβ.] επιθησουσιν B*(uid.) | επι 1⁰] και A† | τα paenult. > AB^c || 9 εγκοιλ.] + αυτου B (in *O* sub ※) | επιθησει ο ιερευς A